UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

## Isidorus <Pelusiota>

## Parisiis, 1585

Didymo. 281.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

## Διδύμῳ. σπα.

Εἰ ἀλλόφυλοι ἐκ καππαδοκῶν ἀνῆλθησαν, καὶ ἀπόγονοι καππαδοκῶν ἀλλόφυλοι. ἐξ ἀλλοφύλων δὲ καὶ γαβαωνῖται τυγχάνουσι. καππαδόκαι δῆλον ὅτι γαβαωνῖται. ἔχων οὖν τὴν ἐκείνων πονηρίαν ἀνάγραπτον, τί θαυμάζεις γιγάντιον. ὕπουλον γὰρ καὶ πονηρὸν ὡς ἐπὶ πᾶν τὸ γένος, εἰρήνῃ μὲν οὐ τερπόμενον, ἔρισι δὲ τρεφόμενον, καὶ μίαν ἔχον πηγὴν τοῦ πικροῦ καὶ γλυκέος. ἐν συντυχίᾳ χρηστολογοῦν, ἐν ἀπουσίᾳ καταλαλοῦν. ἀπατηλὸν, ἀναιδὲς, θρασὺ, δειλὸν, σκωπτικὸν, ἀνελεύθερον, δόλιον, μισάνθρωπον, ὑπεροπτικὸν, ἐν ταῖς τῶν φίλων εὐπραγίαις περίλυπον, ἐν δυσπραγίαις ἀκόρεστον· ἐν προσωπείῳ εὐλαβείας αἰχμαλωτίζον τὰ γυναικάρια, ἐν μανίᾳ χρυσοῦ ὑπερβάλλον τὸν βαβυλώνιον. πρὸς ψεῦδος ὀξὺ. πρὸς τὸ παρορκῆσαι ταχὺ, καὶ οἷον ἔχεις τὸν πάμφαυλον καὶ παμμισῆ γιγάντιον τοιούτους ἅπαντας καὶ νόμιζε, καὶ γίνωσκε καππαδόκας.

συνουσία. λυπούμενον

## *Didymo.* 281.

Si Philistæi à Cappadocibus genus traxerunt, ab ijsque oriundi sunt, atque in Philistæorum numero Gabaonitæ sunt, Cappadoces profectò Gabaonitæ sunt. Cùm igitur eorum improbitatem ac nequitias literarum sacrarum monimentis proditam atque consignatã habeas, quid Gigantiũ miraris? subdola enim atque improba magna ex parte hæc natio est. Pace offenditur, contentionibus ac dissidijs alitur, eundémque dulcis & amari fontem habet. In congressu blandè ac benignè loquitur: in absentia obtrectat. Fallax est, impudens, temeraria, meticulosa, cauillatrix, illiberalis, versuta, inhumana, superba, & contumax, in secundis amicorum rebus mœsta, in aduersis læta & insatiabilis. Sub pietatis larua mulierculas in captiuitatem redigit: atque insano auri amore Babylonium superat. Ad mentiendũ procliuis est: ad peierandum celer. Ac denique qualem habes improbissimũ ac prorsus exosum Gigantium, tales omnes Cappadoces esse existima, ac pro certo habe.

*Iosue.*

## Σερήνῳ. σπβ.

Ἐπειδὴ χῶρον ἡμῖν εὐζωΐας τὴν ἐν Ἐδὲμ κατοικίαν ὁ δημιουργὸς καὶ δεσπότης παρέχετο. δι' εὐκολίαν δὲ γνώμης, καὶ πονηρίαν τοῦ πλάνου ταύτης ἐξώσθημεν, καὶ εἰς γῆν ἐπίμοχθον καὶ θλιβερὰν παροικίαν ἐρρίφημεν, τοὺς ἐξ ἡμῶν πάλιν πτεροφυήσαντας, καὶ τὴν χαμαίζηλον ζωὴν καταλείψαντας, καὶ πρὸς τὸ ὕψος τῆς οὐρανίου πολιτείας ἐπιστάντας, εἰς ἐκεῖνον τὸν χῶρον συνάγειν ὁ ἀγαθὸς χριστὸς ἐπηγγείλατο. καὶ τοῦτό ἐστιν, ὃ ἠρώτησας, Ὅπου τὸ πτῶμα, ἐκεῖ συναχθήσονται οἱ ἀετοί. ὅπου, φησὶ, τὸ ἥττημα διὰ τὴν ἄκρατον γεῦσιν ἐγένετο, ἐκεῖ καὶ ἡ νίκη διὰ νηστείας καὶ ἐγκρατείας, ἧς ἐγεώργησεν ἡ φύσις, κατώρθωται.

## *Sereno.* 282.

Quoniam beatæ vitæ sedem nobis rerum omnium architectus ac Dominus habitationem in Edem præbuerat, ob leuitatem autem animi, atque impostoris improbitatem ea exturbati ac deiecti, atque in ærumnosam terrã, & grauem acerbámque peregrinationem proiecti sumus: idcirco Christus eos ex nobis, qui pennas rursum induerint, atque terrena & abiecta hac vita relicta ad cælestis vitæ fastigium accesserint, ad illum locum collecturum se pro sua bonitate pollicitus est. Atque illud est, quod quæsiuisti, vbi est τὸ πτῶμα, illic congregabuntur & aquilæ: hoc est, vbi ob intemperantem gustum clades extitit, illic etiam victoria, per inediam & continentiam, quam natura protulit & excoluit, parta est.

*Genes. 3.* *Genes.*

## Πέτρῳ Ἀρχιμανδρίτῃ. σπγ.

Ἐκ τῶν ἀγγελικῶν ταγμάτων, καὶ τοῦ

## *Petro Cœnobiarchæ.* 283.

Ex angelorum classibus, atque Apost-